Ζήτησον σεαυτῷ ἄνθρωπον, ὃς συμπορεύσεταί σοι, καὶ δώσω αὐτῷ BA
4 μισθόν, ἕως ζῶ· καὶ λαβὲ πορευθεὶς τὸ ἀργύριον. 4καὶ ἐπορεύθη
ζητῆσαι ἄνθρωπον καὶ εὗρεν τὸν Ραφαηλ, ὃς ἦν ἄγγελος, καὶ οὐκ
5 ᾔδει· 5καὶ εἶπεν αὐτῷ Εἰ δύναμαι πορευθῆναι μετὰ σοῦ ἐν Ῥάγοις
6 τῆς Μηδίας, καὶ εἰ ἔμπειρος εἶ τῶν τόπων; 6καὶ εἶπεν αὐτῷ ὁ
ἄγγελος Πορεύσομαι μετὰ σοῦ καὶ τῆς ὁδοῦ ἐμπειρῶ καὶ παρὰ
7 Γαβαηλ τὸν ἀδελφὸν ἡμῶν ηὐλίσθην. 7καὶ εἶπεν αὐτῷ Τωβιας Ὑπό-
8 μεινόν με, καὶ ἐρῶ τῷ πατρί μου. 8καὶ εἶπεν αὐτῷ Πορεύου καὶ
9 μὴ χρονίσῃς. 9καὶ εἰσελθὼν εἶπεν τῷ πατρί Ἰδοὺ εὕρηκα ὃς
συμπορεύσεταί μοι. ὁ δὲ εἶπεν Φώνησον αὐτὸν πρός με, ἵνα
ἐπιγνῶ ποίας φυλῆς ἐστιν καὶ εἰ πιστὸς τοῦ πορευθῆναι μετὰ

5 4 τον > B || 7 μου > B || 9 πιστος] + εστιν A

---

Τωβια τῷ υἱῷ αὐτοῦ Χειρόγραφον αὐτοῦ ἔδωκέν μοι, καὶ χειρόγρα- S
φον ἔδωκα αὐτῷ· καὶ διεῖλον εἰς δύο, καὶ ἐλάβομεν ἑκάτερος ἕν, καὶ
ἔθηκα μετὰ τοῦ ἀργυρίου· καὶ νῦν ἰδοὺ ἔτη εἴκοσι ἀφ' οὗ παρεθέμην
τὸ ἀργύριον τοῦτο ἐγώ. καὶ νῦν, παιδίον, ζήτησον σεαυτῷ ἄνθρω-
πον πιστόν, ὃς πορεύσεται μετὰ σοῦ, καὶ δώσομεν αὐτῷ μισθόν,
4 ἕως ὅτου ἔλθῃς· καὶ λαβὲ παρ' αὐτοῦ τὸ ἀργύριον τοῦτο. 4ἐξῆλ-
θεν δὲ Τωβιας ζητῆσαι ἄνθρωπον, ὃς πορεύσεται μετ' αὐτοῦ εἰς
Μηδίαν, ὃς ἐμπειρεῖ τῆς ὁδοῦ, καὶ ἐξῆλθεν καὶ εὗρεν Ραφαηλ τὸν
ἄγγελον ἑστηκότα ἀπέναντι αὐτοῦ καὶ οὐκ ἔγνω ὅτι ἄγγελος τοῦ
5 θεοῦ ἐστιν· 5καὶ εἶπεν αὐτῷ Πόθεν εἶ, νεανίσκε; καὶ εἶπεν αὐτῷ
Ἐκ τῶν υἱῶν Ισραηλ τῶν ἀδελφῶν σου καὶ ἐλήλυθα ὧδε ἐργα-
τεύεσθαι. καὶ εἶπεν αὐτῷ Ἐπίστῃ τὴν ὁδὸν πορευθῆναι εἰς Μηδίαν;
6 6καὶ εἶπεν αὐτῷ Ναί, πολλάκις ἐγὼ ἐγενόμην ἐκεῖ καὶ ἐμπειρῶ καὶ
ἐπίσταμαι τὰς ὁδοὺς πάσας· πλεονάκις ἐπορεύθην εἰς Μηδίαν καὶ
ηὐλιζόμην παρὰ Γαβαήλῳ τῷ ἀδελφῷ ἡμῶν τῷ οἰκοῦντι ἐν Ῥάγοις
τῆς Μηδίας, καὶ ἀπέχει ὁδὸν ἡμερῶν δύο τεταγμένων ἀπὸ Ἐκβα-
7 τάνων εἰς Ῥάγα· κεῖνται γὰρ ἐν τῷ ὄρει. 7καὶ εἶπεν αὐτῷ Μεῖνόν
με, νεανίσκε, μέχρι ὅτου εἰσελθὼν ὑποδείξω τῷ πατρί μου· χρείαν
γὰρ ἔχω ἵνα βαδίσῃς μετ' ἐμοῦ, καὶ δώσω σοι τὸν μισθόν σου.
8 8καὶ εἶπεν αὐτῷ Ἰδοὺ ἐγὼ προσκαρτερῶ, μόνον μὴ χρονίσῃς.
9 9καὶ εἰσελθὼν Τωβιας ὑπέδειξεν Τωβιθ τῷ πατρὶ αὐτοῦ καὶ εἶπεν
αὐτῷ Ἰδοὺ ἄνθρωπον εὗρον τῶν ἀδελφῶν ἡμῶν τῶν υἱῶν Ισραηλ.
καὶ εἶπεν αὐτῷ Κάλεσόν μοι τὸν ἄνθρωπον, ὅπως ἐπιγνῶ τί τὸ γένος
αὐτοῦ καὶ ἐκ ποίας φυλῆς ἐστιν καὶ εἰ πιστός ἐστιν ἵνα πορευθῇ μετὰ

5 6 ραγοις Fr. secutus Uet. Lat. (cf. 4 1. 20)] εκβατανοις S | ραγα Ra.] γαρ-ρας Sr: cf. 4 20 | ultimum uerbum (ορει) suppleui; ultimo uerbo penitus deleto Ss in fine lineae et in marg. minimis literis scripsit ορει εκβατανα εν μεσω τω πεδιω